τοις προσεξευρεῖν καὶ προσεπιθέσθαι· ἄλλως γὰρ εἰ τῇ φαντασίᾳ τεκμηριώσῃ ἐφέπεσθαι βουλοίμεθα, ϗ πρὸς αὐτὸν Ὅμηρον ὡς ἐπὶ πρῶτον δημιουργὸν τοῦ συστήματος τοῦδε ἀναδραμούμεθα· εἴρηται γὰρ κἀκείνῳ ἔστιν ὅπου τῶν ἐπῶν (1), τὰς ἀνθρώπων ψυχὰς πρὸς τὸ νοεῖν ὁσημέραι ϗ ὧραι ὑπὸ Θεοῦ διατίθεσθαι ϗ ἄγεσθαι.

„Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων.

„Οἷον ἐφ' ἦμαρ ἄγησι πατὴρ ἀνδρῶν τε θεῶν τε.

Κατὰ μὲν οὖν τοῦ Μαλεβραγχείου συστήματος γέγραφε ϗ Ἀρνάλδος ἐν τῷ περὶ ἀληθῶν ϗ ψευδῶν ἰδεῶν, ᾧ ϗ Μαλεβράγχιος ἀπήντηκεν ἔτει αχπδ. ἐν Ῥοτεροδάμῳ, καὶ Πέτρος Ποϊρέτος, ϗ Λώκιος, ϗ Γεώργιος Πρίτιος ἐν τῷ περὶ ἐνθουσιασμοῦ τοῦ Μαλεβραγχίου. Οὐδεὶς δὲ ὃν ἂν εἰδείην τοῦ δόγματος τούτου προέστη.

## Πρότ. ΛΕ'.

„Τὸ Μαλεβραγχίου σύστημα Α'. λόγοις νηπιώδεσιν ἐπῳκοδόμηται. Β'. „ἀβέβαιον ἐστί. Γ'. καὶ πρὸς ἑαυτὰ διαστασιάζον. Δ'. καὶ ἀτόπων πολλῶν „ἐχόμενον.

## Δεῖξις.

Α'. Μέρος. Ἐπῳκοδόμηται γὰρ λόγοις τε ϗ μαρτυρίαις. Τῶν δὲ λόγων Α'. ὅτι οὐσιωδῶς ἥνωται ὁ νοῦς τῷ Θεῷ. Β'. ὅτι οὐδὲ τῷ ἄλλῳ συστήματι ἡ τῶν ἰδεῶν φύσις ϗ ἀρχὴ ἔχει κατανοεῖσθαι. Τὸ μὲν οὖν πρῶτον οὕτως ἀσθενὲς, ὡς καὶ Μαλεβραγχίῳ αὐτῷ δόξαι μὴ ἐξαρκεῖν τὴν ἕνωσιν ταύτην πρὸς νόησιν, χρείαν δὲ εἶναι περαιτέρω τοῦ τὸν Θεὸν τῇ ψυχῇ τὰ νοητὰ ἀποκαλύπτειν. Ἡ γὰρ ἕνωσις ἢ κατ' οὐσίαν, ἢ κατ' ἐνέργειαν ἔσται. Ἡ μὲν οὖν οὐκ ἀπόχρη ἄνευ τῆς δευτέρας πρὸς νόησιν· τεθεῖσα δὲ μέρος, ἢ διάθεσιν Θεοῦ τὴν ψυχὴν ἀναφαίνεται, ὅπερ οὐδ' ἂν αὐτὸς ἀνέξαιτο, ἀτοπώτατον ὂν (Πρ. ΙΘ'.). Ἡ δὲ κατ' ἐνέργειαν ἕνωσις τὴν ψυχὴν τῷ Θεῷ συνάπτει, οἷα δὴ τῇ τῶν ἰδεῶν ϗ τοῦ ἐν τῷ Θεῷ φωτὶ κοινωνίᾳ πάντα νοοῦσαν, ὅπερ ἐστὶ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι, ϗ τοὐσαφὲς ἐκ τοῦ ἀσαφοῦς πειρᾶσθαι δεικνύειν. Οὐχ ἧττον δὲ νηπιώδης ϗ ὁ δεύτερος λόγος. Α'. γὰρ τὰ λοιπὰ πέντε συστήματα λόγοις πιθανοῖς μὲν ἴσως ἀπελέγξαι ἐπειράσατο Μαλεβράγχιος, ἀποδεικτικοῖς δὲ οὐδαμῶς. Β'. ϗ λόγος ἐστὶν οὗτος, ἥ φασιν, ἐ δι ἀγνοίας· οὐ γὰρ ὅτι αἱ τῶν

(1) Ὀδυσσεία Ι∆.

ΙΩΑΝΝΙΝΑ 2006

ἄλλων ὑποθέσεις ψευδεῖς εἰσὶν, ἀληθὴς ἔσται ἣν ἐγὼ προχειρίζομαι, εἰμὴ καὶ δεῖξαι ὅτι ἀληθής ἐστι φθάσω (1).

Πρὸς δὲ τὰς ἐπενεχθείσας μαρτυρίας ἀπαντῶντες φαμὲν Α΄. ὅτι αἱ θεῖαι γραφαὶ τὸν Θεὸν φωτίζειν λέγουσι πάντα ἄνθρωπον τῷ τε φυσικῷ φωτὶ, ὃ τούτων ἐνῆκε ταῖς ψυχαῖς, καὶ τῷ τῆς προφητείας καὶ ἀποκαλύψεως, καθ᾽ ὃ καὶ ὁ θεόσδοτος νόμος λύχνος εἴρηται τοῖς ποσὶν ἡμῶν, καὶ φῶς ταῖς τρίβοις, καὶ λύχνος φαίνων ἐν αὐχμηρῷ τόπῳ· καὶ ὁ Κύριος ἡμῶν φῶς, καὶ ἀλήθεια, καὶ ὁδός. Καὶ διαστρέφει ἄρα τὰς Γραφικὰς ῥήσεις ὁ Μαλεβράγχιος, ἐπὶ τὸ δοκοῦν παρελκύων. Β΄. καὶ Αὐγουστῖνος, κἂν οὕτω φρονοίη, εἷς ὢν καὶ μόνος, οὐχ οἷός ἐστιν εἰς πειθὼ παραβιάσασθαι, ὅπου μάλιστα Αὐγουστίνου τοιαύτη φέρεται ὑποθήκη, μὴ χρῆναι παραδέχεσθαι, εἰμὴ τὰ τῇ θείᾳ ἀποκαλύψει, ἢ τῷ φυσικῷ λόγῳ προσερειδόμενα. Οὐδὲν δὲ μᾶλλον ἰσχύει παρ᾽ ἡμῖν καὶ ἡ παρὰ τῶν Πλατωνικῶν μαρτυρία.

Μέρος Β΄. Ἡ γὰρ τὸ δοκοῦν τοῖς φανητιῶσιν ἀντὶ λόγου προχειριζομένη δόξα (διὰ τὸ Α΄. μέρος) πολλῆς ἔχεται ἀβεβαιότητος. Ἀλλὰ καὶ τὸ μηδένα τῶν σοφῶν τὴν δόξαν ταύτην ἀσπάσασθαι, μέγα δήπου τεκμήριον τοῦ κατ᾽ αὐτὴν ἀβεβαίου κρίνεται.

Μέρος Γ΄. Διττῶς τι ἔν τινι ἐνορᾶται, ἢ ὡς ἐν ἐγνωσμένῳ νοητῷ, ἢ ὡς ἐν φωτὶ καὶ ἀρχῇ. Εἰ μὲν οὖν τὸ πρῶτον ἕλοιτο Μαλεβράγχιος, συνεπιγνωσθήσεται ἄρα καὶ Θεὸς αὐτῷ· ὁ δὲ Θεὸς νοῦς ἄκρατος καὶ ἁπλούστατος, συνεπιγνωσθήσεται ἄρα ὁ θεῖος νοῦς, ὁ τῶν ἀπείρων δυνατῶν ἐπιδραττόμενος, καὶ οὐδὲν ἀγνοήσει νοῦς ὁ πεπερασμένος, οὐδὲ τῶν ὄντων, οὐδὲ τῶν δυνατῶν. Ἀλλ᾽ οὐ πάντα, φησὶν ἐκεῖνος, ἀποκαλύπτει τὸ θεῖον. Καὶ μὴν ταῦτα ἐστὶ τὰ μαχόμενα, ἐποπτεύειν μὲν τὸ ἁπλούστατον, μὴ ἐποπτεύειν δὲ ὅλον. Ἀλλὰ δῶμεν καὶ ταῦτα. Εἰμὴ πάντα ἀποκαλύπτει, πάντως οὐδὲ τὰ ἀλυσιτελῆ καὶ ἐπιβλαβῆ, καὶ τούτων οὐδὲν εἴσεται ἡ ψυχή· ὃ προφανῶς ἐστι ψευδόμενον. Παρὰ ταῦτα εἰ πᾶσαι ψυχαὶ παραπλησίως συνήφθησαν τῷ Θεῷ, τί μὴ καὶ παραπλησίως νοεῖν πεφύκασι; Τί δὲ ἡ αὐτὴ ψυχὴ οὐκ ἐπίσης νοεῖν ἔχει ἐν νηπιότητι, καὶ ἐν παισὶ, καὶ ἀνδράσι, καὶ γέρουσι; Τί δὲ τῆς αὐτῆς ἡμῖν παρούσης τῶν ἐννοιῶν ἀποθήκης, τῆς δαψιλοῦς ἐκείνης καὶ ὑπεραφθόνου, πολλῶν τῆς μνήμης ἐκπίπτομεν; Θαυμάζειν δ᾽ ἔπεστιν, ὅτι καὶ οὕτω δόξης ἔχων, τῷ ἐγκεφάλῳ ἀ-

(1) Ὅρα Λώκιον ἐν τῇ ἐρεύνῃ τοῦ δόγματ. τοῦ Μαλεβραγ.

Ε.Υ.Δ.Τ.Ε.Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

νατίθεται τὴν μνήμην ὁ Μαλεβράγχιος· οὐδὲ γάρ οἷόν τε. Εἶτα καὶ τίνος χάριν οἱ μὲν ἀπόνως, οἱ δὲ διὰ πολλοῦ πόνου, καὶ μόλις ἐπιβάλλειν τοῖς νοητοῖς ἢ χρὴ δύνανται; Καὶ πῶς ὑπὸ νοσημάτων ἐπισκηπτόντων αἱ πρὶν οὖσαι τῇ ψυχῇ γνώσεις οἴχονται; ἢ διὰ τὴν ἐπισυμβᾶσαν νόσον ἐποργιζόμενος ἡμῖν, κρύπτει ἃς προέθετο παρασχεῖν ἐννοίας τὸ θεῖον; Τίνι δὲ λόγῳ πολλοὶ τῶν φρενῶν ἐκπίπτουσι; Τί δὲ τίνες τῶν Θεοῦ νόμων ἀδαεῖς τε καὶ ὀλιγωρηταὶ γίνονται; Οἷς πρόσθες, ὡς οὐδεὶς ἂν γένοιτο ἄθλιος νοῦς, οὐσιωδῶς τῇ μακαρίᾳ ἐκείνῃ φύσει ὢν συνημμένος κτλ. Ἐὰν δὲ κατὰ τὸν δεύτερον λόγον ἐνορᾶν τῷ Θεῷ τὰ νοητὰ φαίη Μαλεβράγχιος, ὡς ἐν φωτὶ δηλονότι καὶ ἀρχῇ, τουτέστι διὰ τοῦ φυσικοῦ φωτὸς τοῦ ὑπὸ Θεοῦ ἡμῖν κεχορηγημένου, τοῦτο μὲν οὐκ ἀπαναινόμεθα, ἀλλ᾽ ἐπὶ τούτῳ οὐδὲ τοσαύτης ἦν παρασκευῆς χρεία, οὐδὲ καινόν τι ἐστίν, ἀλλὰ τοῖς πᾶσι περιᾳδόμενον.

Μέρος Δ΄. Α΄. ὁ ἑαυτῷ καὶ μικρὸν προσέχων, παντί τῳ ἑτέρῳ τρόπῳ, ἢ ἐν τῷ Θεῷ τὴν ψυχὴν νοεῖν ὁμολογήσειε, τῷ ἀπερινοήτῳ καὶ κατὰ ἀποφάσεις μόνον, ἥ φασιν, ἐπωσοῦν γινωσκομένῳ. Β΄. Εἰ πάντα ἐν τῷ Θεῷ ὁρῶμεν, Α΄. πάντες ἄρα φύσει τῆς προφητικῆς χάριτος μετειληχότες ἐσμέν. Β΄. ἡ ἐξωτερικῶς γινομένη ἀποκάλυψις καὶ νομοθεσία περιτταὶ ἔσονται. Γ΄. οὐκ ἀληθῶς γέγραπται διὰ τῶν ὁρωμένων καὶ τῆς καλλονῆς τῶν δημιουργημάτων εἰς τὴν τοῦ ἀοράτου γνῶσιν ἡμᾶς ἀνάγεσθαι. Δ΄. τίνα ποτ᾽ ἂν ἔχοιμεν ταύτης μείζονα καὶ μακαριωτέραν ἐλπίζειν ἀπόλαυσιν, εἰ οὐδὲ δυνατὸν μᾶλλον τὴν ψυχὴν τῷ Θεῷ συναφθῆναι, ἢ νῦν συνήφθη. Τ᾽ ἄλλα μυρία ὄντα παρίημι. Ἀλλ᾽ ἐκεῖνο οὐκ ἂν ἔχοιμι παρεᾶσαι, ὡς εἴγε τοιαύτη τις εἴη οὐσιώδης ἕνωσις ψυχῶν καὶ Θεοῦ, ὁ δὲ χῶρος ἐστὶ πνευμάτων, καθάπερ τὸ διάστημα τόπος ἐστὶ τῶν σωμάτων, διήσει ἄρα διὰ τῶν ψυχῶν ἡ θεία φύσις ὡς διὰ τοῦ κενοῦ τὰ σώματα διαστήματος· οὕτω δ᾽ ἐκεῖναι καὶ μέρη ἔσονται τῆς ἀκηράτου φύσεως, ἢ τρόποι, ἢ καὶ Θεὸς αὐτός. Οὐδὲν οὖν διαφέρει τοῦ κατὰ Σπινόζαν φρονήματος τὸ Μαλεβράγχειον δόγμα, τῆς δὲ ἴσης ἐκεῖνο καὶ τοῦτο προφανῶς ἔχεται ἀτοπίας.

## Σύστημα τὸ τῶν ἐμφύτων ἰδεῶν.

Ἅπαντες οἱ τῷ Πλάτωνι παρηκολουθηκότες, καὶ ὅσοιγε τὴν τῶν ψυχῶν προΰπαρξιν ἠσπάσαντο, ἐμφύτους εἶναι τὰς ἰδέας ἐτίθεντο, ἐνούσας μὲν ψυχαῖς, ἐνούσας δὲ καὶ θεοῖς τοῖς ἐλάττοσι κατὰ μετοχὴν ἀπὸ τοῦ πρώτου καὶ ὑπερτάτου νοῦ, ἐν ᾧ αἱ ἰδέαι τῶν πάντων αἰώνιοί τε εἰσὶ καὶ ἐνυπόστατοι, ἐξ οὗ

ϗ τὸ Σωκράτους ἐκεῖνο, ὅτι αἱ μαθήσεις ἀναμνήσεις εἰσί (1). Τὴν οὖν δόξαν ταύτην τῶν Πλατωνικῶν ὑπὸ τοῦ περιπάτου, ἐπικρατήσαντος ἀν᾽ Εὐρώπην, μικροῦ τέλεον καθαιρεθεῖσαν, ἀνεδείματο οὐ πρὸ πάνυ πολλοῦ Ῥενάτος ὁ Καρτέσιος, τὰς ἐμφύτους ἰδέας ϗ οὗτος εἰσποιησάμενος, καίτοι μακρῷ διαφερούσῃ σημασίᾳ, ἢ τῷ Πλάτωνι ϗ τοῖς περὶ ἐκεῖνον εἰσήγοντο. Ἰδέας μὲν γὰρ ἐμφύτους οὗτος ἐνόει, οὐχὶ μορφὰς ἢ εἴδη ὑπὸ Θεοῦ κατὰ μετοχὴν ταῖς ψυχαῖς οἱονεὶ ἐγκεκολαμμένας αἵτινες εἶεν ἑτερόν τι τῆς διανοητικῆς δυνάμεως αὐτῆς, ἀλλὰ τῶν διανοήσεων αὐτῶν τὰ εἴδη, αἳ δὴ διανοήσεις οὔθ᾽ ὑπὸ τῶν ἐκτὸς, οὔθ᾽ ὑπὸ θελήσεως διορισμοῦ προΐασιν, ἀλλ᾽ ὑπὸ μόνης τῆς δυνάμεως τοῦ νοεῖν, οἱονεὶ δηλονότι ἀνάγκῃ φύσεως ἐξ αὐτῆς τῆς ψυχῆς ἐκπηγάζουσαι, εἴτι ἐγὼ τοῦ ἀνδρὸς τῆς δόξης συνίημι (2). Προέστησαν δὲ τῆς δόξης οἱ τὴν φιλοσοφίαν ἐκείνου ἀποδεξάμενοι ἄλλως τε οὐκ ὀλίγοι, ϗ Ἕνρικος ὁ Μόρος (3) ὁ τῶν ἐπιστημῶν τὰ σπέρματα τῶν τε Θεωρητικῶν ϗ τῶν Ἠθικῶν ὑπὸ Θεοῦ ταῖς ψυχαῖς ἐνσπαρέντα δογματίσας. Ἀλλὰ γὰρ Σιλουανὸς ὁ Ῥήγιος συνδεδημιουργῆσθαι, ἤτοι ἀπὸ γενετῆς ἐγκεκολάφθαι τῇ ψυχῇ τὰς ἐννοίας τοῦ Θεοῦ, τοῦ σώματος, ϗ ἑαυτῆς, ἅμα συναπτομένῃ τῷ σώματι, τὰς τρεῖς ταύτας ἡγήσατο, ἃς ϗ ἐμφύτους ἰδέας μόνας ἀποκαλεῖν ἠξίου (4). Ὁ δὲ Λειβνίτιος φέροντα τὴν τοῦ παντὸς ἰδέαν ἅπαντα νοῦν δημιουργητὸν ὑπείληφε παράγεσθαι, περὶ οὗ ἀνωτέρω. Τοὐναντίον δὲ πολλοί τε ϗ μέγα κλέος ἀράμενοι ἐν φιλοσοφίᾳ τῶν τε Σχολαστικῶν ϗ τῶν Νεωτεριστῶν, οἷον Πέτρος Γασσένδος, Θωμᾶς Ὀββέσιος, Μαλεβράγχιος, Ἰωάννης Λώκιος, Ἀνδρέας Ῥουδιγέριος, ἐφ᾽ ᾧ τοὺς ἄλλους παρῶ τοὺς ἐλάσσονας, οὕτως ὅλαις δυνάμεσι κατὰ τῆς τῶν ἐμφύτων ἰδεῶν διδασκαλίας ἠνέχθησαν, ὡς μηδὲ εἶναι τινὰ καθ᾽ ἡμᾶς ἄνδρα ἐπισήμου ὀνόματος τὸν ὑπερασπιζόμενον.

## Πρότ. Λϛ´.

„Οὐκ ἂν εἶεν ἅπασαι αἱ ἰδέαι αὐτῇ τῇ ψυχῇ συνεκδημιουργούμεναι.

(1) Ὅρα Θεαίτητ. Πλάτωνος.
(2) Ἀποκρ. πρὸς ΙΒ. Ἄρθρ. προγράμμ. Βελγικοῦ ἔτ. 1647.
(3) Περὶ ἀθαν. ψυχ.
(4) Περὶ χρήσ. τοῦ λόγ. ϗ τῆς πίστεως Βιβλ. Α´. μέρ. Α´. Κεφ. Ζ´.

Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Δεῖξις.

Η῎ γὰρ αἱ τοιαῦται ἰδέαι ἀντιλήψεις εἰσὶν, ἢ οὖν εἴδη τινὰ ϗ μορφαὶ τῶν ἀντιλήψεων διακρινόμεναι. Α᾽λλ᾽ εἰ τὸ πρῶτον, ἅπασαι, ὅσας ποτὲ ἀντιλήψεις ὁ νοῦς ἔσχεν, ἢ ἕξει, ἅμα ϗ κατὰ τὸ αὐτὸ εἰσὶν, ὃ τῇ ἐν ἡμῖν αὐτοῖς συνειδήσει ἥκιστα ἐστὶ σύμφωνον. Εἰδὲ τὸ δεύτερον, ἀνάγκη πᾶσα τοσαύτας ἀλλήλων διακεκριμένας ἐγκεκολάφθαι τῇ ψυχῇ λέγειν μορφὰς, ὅσας ἐκείνη, ἐν ᾧ ἐστὶ, ϗ νοεῖ, ἔχειν δύναται ἰδέας, ἀπείρους δηλονότι, οἷα που τῷ Μαλεβραγχίῳ ἀποδέδεικται. Τὸ δὲ οὐ κατὰ τὴν πεπερασμένην τῆς ψυχῆς φύσιν. Οὐκ ἂν ἄρα ἅπασαι αἱ ἰδέαι εἶεν τῇ ψυχῇ συνεκδημιουργούμεναι.

Παρὰ ταῦτα, ϗ εἰ αὕτη μόνη ἀρχὴ τῶν ἰδεῶν τεθῇ, ἔσονται δὴ ϗ αἱ τῶν σωμάτων ἁπάντων, ϗ τῶν ποιοτήτων αὐτῶν, τῶν ἀφῇ τε, ϗ γεύσει, ϗ ἀκοῇ, ϗ ὁράσει, ϗ ὀσφρήσει ἡμῖν ληπτῶν γινομένων, τῶν τε ἐπιγείων ϗ οὐρανίων, ἰδέαι αἱ πᾶσαι ἔμφυτοι, ὅπερ οὐδεὶς ἂν εὖ ἔχων τὰς φρένας δοίη. Α῎λλως γὰρ ϗ αὗται ἀεὶ τῇ ψυχῇ παρέσονται, οὐδὲ γὰρ ἂν γένοιτό τι τῇ ἁπλουστάτῃ τῆς ψυχῆς φύσει, ὃ μὴ παρὸν εἴη διὰ παντός. Εἰδὲ πάρεσι πάντα τὰ νοητὰ ταῦτα εἴδη, ϗ ἀεὶ ἡ ψυχὴ νοήσει αὐτά. Α᾽λλ᾽ οὐκ ἔστι τοῦτο λέγειν· οὐδὲ παροῦσαι ἄρα αἱ ἰδέαι· οὐδὲ ἐκ τοῦ ἀκολούθου ἔμφυτοι. Εἶτα ϗ ἡ μνήμη ἔσται οἱονεὶ τῶν ἰδεῶν ταμεῖον ϗ ἀποθήκη ἐν τῇ ψυχῇ. Καὶ οὐδὲν ἄρα οὐδὲ νόσημα τῶν σωματικῶν λυμήνασθαι, οὐδὲ διαφθεῖραι τὴν μνήμην δυνήσεται, οὐδέν τε ἄκος ἐξακόσασθαι πάγχυσάν τε ϗ ὀλλυμένην. Α᾽λλὰ τοῦθ᾽ ἥκιστα οὕτως ἔχει. Α῎ρα κτλ.

## Πρότ. ΛΖ΄.

„Εἰ μὴ πᾶσαι ἔμφυτοι εἰσὶν αἱ ἰδέαι, ἀλυσιτελὴς ἔσται ϗ περιττὴ πρὸς „ἀνάπτυξιν τῆς τῶν ἰδεῶν ἀρχῆς ἡ ἐμφύτους αὐτὰς γνωματεύουσα ὑπόθεσις.

## Δεῖξις.

Δέον γὰρ ζητεῖν ἐπὶ τῶν μὴ ἐμφύτων ἄλλην ἀρχὴν, ϗ βέβαιον οὕτως οὐδὲν περίεστιν. Εἶτα ϗ εἰ μὴ πᾶσαι ἔμφυτοι, ἔσονται τινὲς ϗ ἐπείσακτοι. Πόθεν δὲ αὗται; παρὰ Θεοῦ; ἢ ἐξ αἰσθήσεως; ἢ εἰκασίας; Α᾽λλὰ τὸ πρῶτον δεῖξαι οὐκ ἂν ἔχοιεν. Εἰ δὲ ϗ δῶμεν ἀληθὲς ὄν, τί μὴ συνάμα ταῖς ἐμφύτοις ϗ τὰς ἄλλας δὴ ταύτας ἐν τῇ ψυχῇ ἐνῆκε τὸ θεῖον, ἀλλὰ κατὰ βραχὺ παράγει ϗ ἐκ διαδοχῆς ϗ διαλειμμάτων; Εἰ δὲ τὸ δεύτερον, ἐπεὶ ῥᾴδιον δεῖξαι παραπλησίως ϗ τὰς ἐμφύτους τῇ ψυχῇ ἐνεισάγεσθαι, ἢ τῶν ἐμφύτων

ἰδεῶν παράληψις ἀλυσιτελής τις πάντως καὶ περιττὴ ἔςαι. Οὐδὲ γὰρ χρὴ πολλαπλασιάζειν τὰ αἴτια ἀνάγκης ἄνευ.

## Πρότ. ΛΗ΄.

„Τὸ τῶν ἐμφύτων ἰδεῶν σύςημα οὐδεμιᾶς ἂν γένοιτο χρήσεως πρὸς „ἀνάπτυξιν τῆς ἰδεῶν ἀρχῆς.

### Δεῖξις.

Οὐ γὰρ ἂν εἶεν ἅπασαι ἔμφυτοι (Πρ. Λϛ΄.). Εἰδὲ μὴ ἔμφυτοι αἱ πᾶσαι, ἀλυσιτελής τε καὶ περιττὴ ἡ δόξα (Πρ. ΛΖ΄.). Τὸ ἄρα τῶν ἐμφύτων ἰδεῶν σύςημα κτ:.

## Πρότ. ΛΘ΄.

„Οἱ τῶν ἐμφύτων ἰδεῶν προασπιςαὶ, μὴ πασῶν τοιούτων ὑποτιθεμένων „αὐτοῖς, τίνες ἄρα αἱ ἔμφυτοι εἰσὶ διερωτηθέντες, οὐδεμίαν προχειρίσασθαι „ἔχουσιν, ἣν μὴ ῥάδιον εἴη δεῖξαι, τὴν αὐτὴν κατὰ τὰς λοιπὰς αἰσθήσει τε „καὶ εἰκασίᾳ προεληλυθέναι δυνηθῆναι.

### Δεῖξις.

Αἱ γὰρ κυριώταται, ἃς ἡμῖν προχειρίζονται, εἰσὶν ἥ,τε τοῦ Θεοῦ, καὶ αἱ τῶν πρωτίςων ἀρχῶν, αἷς αἱ θεωρητικαί τε καὶ πρακτικαὶ ἐπιςῆμαι βεβήκασι, καὶ αἱ ἀφῃρημέναι ἰδέαι τῶν ἀριθμῶν, καὶ ἡ τῆς ἀναλογίας, καὶ αἱ παραπλήσιαι. Ἀλλὰ γὰρ τὸν μὲν Θεὸν ὡς πρωτίςην κόσμου παντὸς δημιουργικήν τε καὶ συνεκτικὴν αἰτίαν ἔκ τε τῆς ὑπάρξεως, καὶ τῶν ποιοτήτων, καὶ τῆς κατασκευῆς, καὶ τῆς τάξεως, καὶ τοῦ τέλους, δι' ὃ ἕκαςα νοεῖσθαι ἔχειν, οἷά που καὶ ἐκ τῶν ἰδίων αἰτιατῶν τὰ λοιπὰ τῶν αἰτίων, λαμπρῶς ἀποδέδεικται Ἀκυνάτῃ, καὶ Λωκίῳ, καὶ Δερχάμῳ, καὶ Νιεβεντιτίῳ, καὶ Κλαρκίῳ, καὶ ἄλλοις σοφοῖς ἀνδράσι, ὡς καὶ τὸν ἐξαρνεῖσθαι θρασυνόμενον οὐχ ὅπως δυσσεβείας, ἀλλὰ καὶ ἀλογίας εἰκότως φεύγειν γραφήν. Εἶτα καὶ τῶν ἐπισημμῶν τὰς πρωτίςας ἀρχὰς, ἤτοι τὰ ἀξιώματα, οἷον τὰ Γεωμετρικὰ ἐπὶ τῆς Γεωμετρίας, ἐξ ἁπλῆς τῶν ἰδεῶν παραθέσεως ἀναφύεσθαι οὕτω σαφές ἐςι, ὡς καὶ περιττὸν ἐμοὶ δοκεῖν, ὃ πρὸς τοῦτο κατασκευὴν Λώκιος ἔργον κατέθετο. Ἀρχαὶ δέ τινες τῶν ἠθικῶν, οἷον Θεὸν πρὸ πάντων σέβεσθαι, καὶ τὸν πλησίον ὡς ἑαυτὸν ἡγεῖσθαι, καὶ μηδενίτινι ποιεῖν, ὃ μὴ παθεῖν ᾖ ἀνεκτὸν, κτ:. ἐκ τῶν ἰδεῶν Θεοῦ καὶ ἀνθρώπων, καὶ τῆς ἐν τῇ φύσει κοινωνίας καὶ ὠφελείας, ἀναφύονταί τε καὶ κρατύνονται, καίτοι ἐν τούτῳ τοὺς τῶν Πλατωνικῶν τουτεςὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΙΩΑΝΝΙΝΑ 2006

προςάται θαυμάζειν ἔπεσιν, οἱ τῶν ἐμφύτων ἰδεῶν ὑπερασπιζόμενοι, καὶ ἀποφάνσεις οὐχ ἧττον καὶ συλλογισμοὺς τινὰς ἐμφύτους εἶναι ψυχαῖς κατὰ τὸ αὐτὸ ἀποφαίνονται. Καὶ τοῦτο μέντοι οἰστὸν ἂν ἦν τοῖς Πλατωνικοῖς τὴν τῶν ψυχῶν προΰπαρξιν ὑποτιθεμένοις τε καὶ ἀσπαζομένοις, ἀλλὰ τὸ ἀποπτύσαντας τὴν προΰπαρξιν ἀντέχεσθαι δόγματος τοῦ ἐξ αὐτῆς ἠρτημένου, ὅμοιόν ἐστι καὶ διακαλλύνειν πειρᾶσθαι σῶμα ἀκέφαλον. Τὸν αὐτὸν δὲ τρόπον καὶ αἱ τῶν ἀριθμῶν ἀφῃρημέναι ἰδέαι καὶ τῶν ἀναλογιῶν ἔχουσιν ἀναπτύσσεσθαι. Ἀναφύονται γὰρ καὶ αὗται εἴτε ἀπὸ τῆς τῶν αἰσθητῶν διαιρέσεως, εἴτ᾽ οὖν καὶ διὰ μελέτης, καὶ εἰκασίας, ὅπερ οὐκ ἂν οὐδὲ αὐτοὶ ἔξαρνοι γένοιντο, ἄχρις οὗ μελέτῃ καὶ εἰκασίᾳ χρησαμένην τὴν ψυχὴν πολλοῖς ἐπιβάλλειν, οἷς ἠγνόει τὸ πρὶν, ἀναγκάζονται καθομολογῆσαι.

## ΚΕΦΑΛ. Δ'.

## Περὶ ἀνθρώπου ἐλευθερίας καὶ ἐκτάσεως αὐτῆς.

### Πρότ. Μ'.

„Ἡ ἀνθρώπου ψυχὴ ἐλευθέρα ἐστὶν, ἀλλ᾽ οὐκ ἐπὶ πάντων.

### Δεῖξις.

Ἐλευθερία ἐστὶν ἡ δύναμις, ᾗ κατὰ λόγον τοῦ ἀγαθοῦ, ἢ φαύλου, μὴ ἄκοντες, ἀλλὰ σὺν ἡδονῇ ἐνεργεῖν πεφύκαμεν (ὁρ. ιγ'). Πολλὰ δ᾽ ἐστὶ, περὶ ἃ οὕτως ἅπαντες ἄνθρωποι ἐνεργοῦσι (δῆλον δὲ ἐξ ἐνδοτάτης συνειδήσεως). Ἄρα ἡ ψυχὴ κτ:. Ο. Η. τὸ Α'.

Ἀλλ᾽ εἰσὶ καὶ ἃ ἄκοντες πάσχομεν, ἐφ᾽ οἷς τε χαλεπαινόμεθα. Ἔστι δ᾽ ἃ ταῖς ἡμετέραις οὐ κεῖται βουλήσεσιν οὐ μόνον τῶν κατὰ τὸ σῶμα, ἀλλὰ καὶ τὴν ψυχήν. Ἔστι δὲ καὶ πρὸς ἃ ἡ τῆς ἡμῶν φύσεως δύναμις οὐκ ἐξικνεῖται. Ταῦτα γοῦν, ὡς ἐκ τοῦ ἐν ἡμῖν λόγου μηδαμῶς διϊθυνόμενα, τοιαῦτα ἐστὶ, περὶ ἃ οὐκ ἐσμὲν ἐλεύθεροι (ὁρ. ιβ'.). Ο. Η. τὸ Β'.

### Πρότ. ΜΑ'.

„Ἄνθρωπος ἐλεύθερος ἐστὶν ἀναγκασμοῦ τε καὶ βίας.

### Δεῖξις.

Ἡ γὰρ ἐπὶ τὸ ἐνεργεῖν δύναμις, ἣν οὐκ ἔστι τις εἱμαρμένη ἡ συναρπάζουσα καὶ συμπαρασύρουσα, αὕτη ἐστὶν ἡ ἐλευθερία ἡ ἀπὸ ἀναγκασμοῦ (σχόλ.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006